ἐργαζόμενον, διὰ τὸ θαυμάσαι τὸν παῖδα ἐκέλευσεν ἐρέσθαι
τί γίγνεται ἐκ τοῦ χωρίου· ὁ δ' 'ὅσα κακὰ καὶ ὀδύναι' ἔφη,
'καὶ τούτων τῶν κακῶν καὶ τῶν ὀδυνῶν Πεισίστρατον δεῖ
λαβεῖν τὴν δεκάτην.' ὁ μὲν οὖν ἄνθρωπος ἀπεκρίνατο
ἀγνοῶν, ὁ δὲ Πεισίστρατος ἡσθεὶς διὰ τὴν παρρησίαν καὶ
τὴν φιλεργίαν ἀτελῆ πάντων ἐποίησεν αὐτόν. οὐδὲν δὲ 7
τὸ πλῆθος οὐδ' ἐν τοῖς ἄλλοις παρ⟨ην⟩ώχλει κατὰ τὴν
ἀρχήν, ἀλλ' αἰεὶ παρεσκεύαζεν εἰρήνην καὶ ἐτήρει τὴν
ἡσυχίαν· διὸ καὶ πολλὰ κλέ[α ἐ]θρ[ύλλο]υν ὡς ἡ Πεισι-
στράτου τυραννὶς ὁ ἐπὶ Κρόνου βίος εἴη· συνέβη γὰρ
ὕστερον δια[δε]ξ[α]μένων τῶν υἱέων πολλῷ γενέσθαι τραχυ-
τέραν τὴν ἀρχήν. μέγιστον δὲ πάντων ἦν τῶν ε[ἰρη]μένων 8
τὸ δημοτικὸν εἶναι τῷ ἤθει καὶ φιλάνθρωπον. ἔν τε γὰρ
τοῖς ἄλλοις ἐβούλετο πάντα διοικεῖν κατὰ τοὺς νόμους,
οὐδεμίαν ἑαυτῷ πλεονεξίαν διδούς, καί ποτε προσκληθεὶς
φόνου δίκην εἰς Ἄρειον πάγον αὐτὸς μὲν ἀπήντησεν ὡς
ἀπολογησόμενος, ὁ δὲ προσκαλεσάμενος φοβηθεὶς ἔλιπεν.
διὸ καὶ πολὺν χρόνον ἔμεινεν ⟨ἐν⟩ [τῇ ἀρ]χ[ῇ] καὶ ὅτ' ἐκπέσοι 9
πάλιν ἀνελάμβανε ῥᾳδίως. ἐβούλοντο γὰρ καὶ τῶν γνωρί-
μων καὶ τῶν δημοτικῶν οἱ πολλοί· τοὺς μὲν γὰρ ταῖς
ὁμιλίαις τοὺς δὲ ταῖς εἰς τὰ ἴδια βοηθείαις προσήγετο, καὶ
πρὸς ἀμφοτέρους ἐπεφύκει καλῶς. ἦσαν δὲ καὶ τοῖς 10
Ἀθηναίοις οἱ περὶ τῶν τυράννων νόμοι πρᾷοι κατ' ἐκείνους
τοὺς καιροὺς οἵ τ' ἄλλοι καὶ δὴ καὶ ὁ μάλιστα καθήκων
πρὸς τὴν τῆς τυραννίδος ⟨κατάστασιν⟩. νόμος γὰρ αὐτοῖς
ἦν ὅδε· 'θέσμια τάδε Ἀθηναίων ἐστὶ καὶ πάτρια· ἐάν τινες
τυραννεῖν ἐπανιστῶνται [[ἐπὶ τυραννίδι]] ἢ συγκαθιστῇ τὴν
τυραννίδα, ἄτιμον εἶναι καὶ αὐτὸν καὶ γένος.'

Πεισίστρατος μὲν οὖν ἐγκατεγήρασε τῇ ἀρχῇ καὶ ἀπέθανε 17

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id417053533/23 UNIVERSITÄT LEIPZIG